# Fragmenta in epistulam ad Colossenses (in catenis)

631 Kol 1,17 Καὶ αὐτός ἐστι πρὸ πάντων. οὐκ εἶπεν· ἐγένετο πρὸ πάντων, ἀλλ'· ἔστι πρὸ πάντων, τοῦτ' ἔστιν ὃ ἂν ἐννοήσῃς, αὐτὸν προόντα καὶ προϋφεστῶτα εὑρήσεις ἀϊδίως συνυπάρχοντα τῷ πατρὶ καὶ τῷ πνεύματι. Kol 1, Εἰρηνοποήσας. τὸ ὑπερβατόν· εἰρηνοποιήσας δι' ἑαυτοῦ, τοῦτ' ἔστιν αὐτουργήσας, ἀλλ' οὐ δι' ἑτέρων ἡμῖν πραγματευσάμενος τὴν εἰρήνην. ποίῳ δὲ τρόπῳ ταύτην εἰργάσατο; διὰ τοῦ αἵματος, φησί, τῆς σταυρώσεως αὐτοῦ· σταυρωθεὶς γὰρ ὑπὲρ ἡμῶν καὶ διὰ τῆς σταυρώσεως τὸ οἰκεῖον αἷμα ἐκχέας ὑπὲρ ἡμῶν, εἰρήνευσε καὶ κατήλλαξεν ἡμᾶς. Kol 1,21 Καὶ ἐχθροὺς τῇ διανοίᾳ. ἀντὶ τοῦ οὐκ ἄκοντες ἐπράττομεν τὰ ἔργα τὰ πονηρὰ καὶ κατά τινα συναρπαγήν, ἀλλὰ μετὰ μελέτης καὶ τὴν ἔχθραν τὴν πρὸς θεὸν τοῖς λογισμοῖς προτυπώσαντες· οὕτως ἐπὶ τὰς ἐχθρὰς αὐτῷ πράξεις ἐχωροῦμεν. διὸ ἄφατος ἡ θεία φιλανθρωπία, ὅτι καὶ τοιούτους ὄντας καὶ κατήλλαξε καὶ προσεδέξατο. Kol 1,24 Καὶ ἀνταναπληρώσω. ὁ Χριστὸς ῥαπισθεὶς καὶ ἐμπαιχθεὶς καὶ μαστιχθεὶς καὶ σταυρωθεὶς ὑπὲρ ἡμῶν, οὐχ ἁπλῶς ἐπλήρωσε πάντα ἀλλὰ καὶ ὑπὲρ νοῦν, καὶ ἀφράστῳ λόγῳ ἐξεπλήρωσεν. χρεῶσται οὖν πάντες καθεστήκαμεν ἀντὶ τῶν μυρίων ἐκείνων καὶ σωσικόσμων παθῶν καὶ αὐτοὶ ὑπομένειν καὶ ἀντεισάγειν παθήματα. καὶ θλίψεις ὑπὲρ Χριστοῦ καὶ τοῦ σώματος αὐτοῦ, ἵνα ἀνταναπληρώσωμεν ἃ ἔπαθεν ὁ Χριστὸς ὑπὲρ ἡμῶν. ἀλλὰ μὴν ἀνταναπληρῶσαι αὐτά, τοῦτ' ἔστιν ἴσως καὶ ὁμοίως παθεῖν καὶ μηδὲν ἐλλείψειν, ἀδύνατον. ἀλλ' ὅσα ἂν πάθωμεν, ὑστέρημά ἐστι πρὸς τὰς θλίψεις τοῦ Χριστοῦ. πῶς γὰρ ἂν καὶ ἀνταναπληρωθείη τὸ δεσπότην ὑπὲρ δούλου παθεῖν διὰ τοῦ δοῦλον ὑπὲρ δεσπότου; οὐ γὰρ ἴσον τοῦτο οὐδὲ ὅμοιον, πολλοῦ γε καὶ δεῖ. ἢ τὸ ἀναμάρτητον ὑπὲρ ἁμαρτωλῶν καὶ προσκεκρουκότων διὰ τοῦ τοὺς ἐν ἁμαρτίαις ὑπὲρ εὐεργέτου καὶ ἀναμαρτήτου; καὶ μυρία. διὸ ὅσα ἄν τις πάσχοι ἀνταναπληρῶσαι θέλων, ὑστέρημα τῶν 632 θλίψεων τοῦ Χριστοῦ ἀνταναπληροῖ. διὸ καὶ ὁ μακάριος Παῦλος ὁ πάντων πλέον ὑπὲρ Χριστοῦ δραμών, ὁ καθ' ἑκάστην ἡμέραν μυρία πάσχων δεινά, τοῦτο εἰδὼς καὶ διδάσκων ἔλεγεν. Kol 2,17 Διττῶς ἐγχωρεῖ στίζεσθαι, καὶ ἐν τῷ σῶμα ὑποστίζοντας, καὶ ἐν τῷ Χριστοῦ. Kol 3,23 Ἀπὸ κοινοῦ τὸ ἐργάζεσθαι, κατὰ μετάπτωσιν ὡς τῷ κυρίῳ καὶ οὐκ ἀνθρώποις ἐργαζόμενοι. Kol 4,3 Ἵνα ὁ θεὸς ἀνοίξῃ. τὸ κοινὸν τῆς συντάξεως· ἵνα ὁ θεὸς ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου λαλῆσαι τὸ μυστήριον τοῦ Χριστοῦ ὡς δεῖ με λαλῆσαι, δι' ὃ καὶ δέδεμαι, ἵνα φανερώσω αὐτό. ὁ δὲ θεῖος Παῦλος καθ' ὑπερβατὸν τὸν λόγον προήνεγκεν. Kol 4,6 Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι. ὥσπερ ἅλατι ἔστω ἠρτυμένος· ὥσπερ γὰρ οὐδὲν τῶν σῶμα τρεφόντων σχεδὸν χωρὶς ἅλατος ἡδύνει καὶ εἰς τροφὴν εὔχυμον ἀναδίδοται, οὕτως καὶ ὁ διδασκαλικὸς λόγος ὁ τὴν ψυχὴν τρέφων, ἂν μὴ ᾖ τῇ χάριτι ἠρτυμένος, οὔτε θρέψει, οὔτε ἀναδοθήσεται. Kol 4,16 Ἵνα καὶ ἐν τῇ Λαοδικέων. ἦν τι πάντως τῶν γραφέντων καὶ πρὸς τὴν διόρθωσιν τῶν Λαοδικέων συντεῖνον. ἢ ὅτι πλέον ἔμελλον προσέχειν ἑαυτοῖς, ὁρῶντες τὰ ἑτέρων ἐλεγχόμενα πλημμελήματα. Καὶ τὴν ἐκ Λαοδικείας. οὐ τὴν ἀπὸ Παύλου πρὸς Λαοδικέας ἢ γὰρ ἂν εἶπε· καὶ τὴν ἐν Λαοδικείᾳ ἀλλὰ τὴν ἀπὸ Λαοδικέων πρὸς Παῦλον· ἦν γάρ τι πάντως ἐν αὐτῇ ὠφελοῦν τοὺς Κolοσσαεῖς. Kol 4,17 Περὶ τοῦ διδασκάλου γράφει, ἵνα ἐπιτιμῶνται καὶ παραινούμενοι πείθωνται, εἰδότες τὰ δηλωθέντα αὐτῷ παρὰ τοῦ Παύλου. ἴσως δὲ 633 ἐπίσκοπος ἦν αὐτῶν, ἢ ἄλλην ἐγκεχείριστο ψυχῶν διακονίαν. διό φησιν· ἐν κυρίῳ διακονίαν καὶ οὐ κατ' ἄνθρωπον οὖσαν. Kol 4,18 Μᾶλλον αὐτὴν τοῦ ἀσπασμοῦ τὴν λέξιν ἰδίᾳ χειρὶ ἔγραψεν, ἵνα πάσχωσί τι πλέον τὴν χεῖρα ὁρῶντες τοῦ Παύλου. Μεγίστη προτροπὴ πρὸς τὸ φέρειν γενναίως τοὺς πειρασμούς, τὸ εἰδέναι καὶ διὰ παντὸς μνημονεύειν εἶναι τοῦτον ἐν δεσμοῖς. Δηλονότι μεθ' ἧς πάντα τὰ ἐπιταγέντα πληρώσουσιν. χάριτος εἰς τὸ σωθῆναι δέονται. τί γὰρ ἂν ποιήσοι ἄνθρωπος ἄνευ χάριτος;



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.